Τῶν παρόντων ἔνδον εἶρξας; ἢ 'πὶ τῷ θρασύνεται;
Δι. Βάλλετ' εἰ βούλεσθ', ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
Εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.
Χο. Ὡς ἀπωλόμεσθ', ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.
Ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις, μηδαμῶς ὦ μηδαμῶς.
Δι. Ὡς ἀποκτενῶ κέκραχθ', ἐγὼ γὰρ οὐκ ἀκούσομαι.
Χο. Ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα.
Δι. Οὐδ' ἐμοῦ λέγοντος ἀρτίως ἠκούσατε.
Χο. Ἀλλὰ νῦν λέγ' εἴ σοι δοκεῖ, τόν τε Λακεδαιμόνιον αὐτὸν, ὅτι τῷ τρόπῳ σοὔστι φίλον.
Ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.
Δι. Τοὺς λίθους νῦν μοι χαμᾶζε πρῶτον ἐξεράσατε.
Χο. Οὑτοιί σοι χαμαί, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος,
Δι. Ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.
Χο. Ἐκσέσεισται χαμᾶζ', οὐχ ὁρᾷς σειόμενον;
Ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος.
Ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίνεται.
Δι. Ἐμέλλετ' ἄρα πάντες ἀνασείειν βοὴν,
Ὀλίγου τ' ἀπέθανον ἄνθρακες Παρνάσσιοι,
Καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.
Ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
Ὁ λάρκος ἐπετίλησεν ὥσπερ σηπία.
Δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι,
Τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν
Ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,
Ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν,
Ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω,
Καί τοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

A *Constrictum domi: aut quanam re tantopere effertur miser?*
*DI. Iacite, si lubet. nam ego hunc male perdam: & mox sciam cui*
*Vestrum aliquid carbonum sit curæ.* CH. *male occidimus viri,*
*Hic cophinus meus est popularis: ne faxis obsecro,*
B *Quod facere instituis: minime, minime isthuc feceris mali.*
*DI. Clamaui, quod interfecturus sim, non enim audiam.*
CH. *An coæqualem occidas amicũ carbonarium?*
*DI. Quia vos me dicentem iamdudum non audistis viri.*
*CH. At deinceps nunc dicito, tuos esse Lacedæmonas amicos: si tibi ita sit lubitum.*
C *Nã hũc tibi cophinulum ego haud volo prodere.*
DI. *Lapides nunc primum e sinibus eijcite in terram protenus.*
*CH. En iacent in terra: & tu quoque manu emoue cuspidem:*
DI. *At neque sub vestibus lateant lapides iam relliqui.*
*CH. Excussum est palliũ, non vides, vt quatiam?*
D *Nequid obtende mihi: sed reijcito gladium.*
*Vt simul & hic mulierum in stropha sit decor.*
DI. *Vocem omnes edituri eratis lugubrem:*
*Parumq; adeo abfuit, quin essent mortui*
*Hi carbones Parnasij, & popularium*
*Quidem ob summam insolentiam. Sed præ metu*
*Cophinus hic fauillam quàm densissimam*
*Mihi incacauit, tanquam sepia. Nam graue est*
*Adeo immites esse hominũ animos, vt lapidibus*
*Petant, & clamitent, & nihil æqui & boni*
E *Audire velint, licet ego cum periculo*
*Dicturus sim omnia, quicquid dicam pro hostibus*
L*acedæmonijs: equidem meã & ego vitã amo.*

Σχόλια. Ἔνδον εἶρξας.] ἀποκλείσας. δασέως δὲ εἷρξας Ἀττικοί. τὸ μέντοι παρ' Ὁμήρῳ ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ψιλῶς. τὸ δὲ ἔρξας δασέως ἀναγινώσκομεν, ὅταν τὸ πράξας δηλοῖ. ἡ μὲν ἄρ' ὡς ἔρξασ' ἀπεβήσατο Δῖα θεάων. τὸ δὲ ἐπὶ τοῦ εἱρκτοῦ δασέως Ἀττικοί. Εἴσομαι δ' ὑμῶν.] F ψίαθον ἀνθράκων προσενήνοχεν. ὅν φασι παῖδα εἶναι τῶν Ἀχαρνέων πάνυ κωμικώτατα. τὰ δὲ μεγάλα πάθη, ὑποπαίζει τῆς τραγῳδίας. ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. παραπλήσιον δέ τι καὶ ἐν ταῖς Θεσμοφοριαζούσαις ἐποίησεν. ὁ γὰρ Εὐριπίδου κηδεστὴς Μνησίλοχος ἐπιβουλευόμενος παρὰ τῶν γυναικῶν, ἀσκὸν ἁρπάσας παρά τινος γυναικὸς, ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. τὸ δὲ εἴσομαι ἀντὶ τοῦ γνώσομαι. ὡς καὶ παρ' Ὁ- G μήρῳ. εἴσομαι αἴ κεν ὁ Τυδείδης κρατερὸς Διομήδης. Ὁ λάρκος δημότης.] πλέγματι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας. Μηδαμῶς ὦ μηδαμῶς.] τοῦτο ἀποσιώπησις καλεῖται. ἔχεις καὶ παρὰ Δημοσθένει τὸ ὅμοιον. ἀλλ' ὦ τί ἄν σε τίς προσειπὼν, ὀρθῶς προσείποι.

Ἀπολεῖς ἄρα τὸν ἥλικα.] ἤτοι τὸν λάρκον. ἢ ἐμὲ τὸν τοῦ αὐτοῦ ἥλικα διὰ τῆς τοῦ λάρκου σφαγῆς. διπλαῖ δὲ δύο. ἢ ὅτι ἡ ἑτέρα ἕπεται δυὰς, ἡ ἀντιστρέφουσα τῇ ἀποδεδομένῃ ἧς ἡ ἀρχὴ, ὡς ἀποκτενῶ κέκραχθε. τέλος δὲ τῆς πρώτης, οὐ προδώσω F ποτέ. τῆς δὲ δευτέρας τῇ στροφῇ γίνεται. Ἀλλὰ νῦν λέγ' εἴ σοι.] ἐπιτρέπουσιν αὐτῷ λέγειν μόνον ἵνα ἀφῇ τὸν λάρκον. Ὅτι τῷ τρόπῳ σοὔστιν.] ἀντὶ τοῦ εἰπὲ σὺ ὅτῳ τρόπῳ ὁ Λακεδαιμόνιός ἐστί σοι φίλος. ἢ οὕτως. εἰπὲ τί σου τῷ τρόπῳ φίλον ἐστὶ περὶ Λακεδαιμονίων. τὸ δὲ ἑνικὸν, ἀντὶ τοῦ πληθυντικοῦ προενήνεκται. ἀντὶ τοῦ περὶ Λακεδαιμονίων. τὸ ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν. ἀλλὰ μὴν τόν γε Παίονα καὶ Ἰλλυριόν. Ἐξεράσατε.] ἀντὶ τοῦ ἐκκενώσατε. ἐκβάλλετε. ἀπορρίψατε. πε- G ποίηται δὲ ἡ λέξις ἀπὸ τοῦ ἔρας, τουτέστι τῆς γῆς. Οὑτοιί σοι χαμαί.] κωμῳδεῖ καὶ διασύρει τοὺς Ἀθηναίους, ὡς καὶ ταχέως θυμουμένους καὶ ταχέως παυομένους.

BISETUS. Ἀλλ' ὅπως.] ὑπακουστέον ὅρα, ἢ σκόπει.
Σχόλια. Ἐγκάθηνταί που λίθοι.] ἐγκεκρυμμένοι ὑποκρυπτόμενοι ὑποκάθηνται. Ἐκσέσεισται.] ἢ ὁ κόλ-

πος